αρθρ. ςςιχ.

τὰς πρὶν δὲ προστίθησιν ἐκλελοιπότας (ψ),
ῥωννῦσα ῥαΐζονται εὖ τῷ μετρίῳ (ω)·
οὔκουν ἀκεστοῦ, φύσεως ἔργον τόδε (α)
τροφὴν τρεπούσης ἐνθάδ᾽ εἰς εὐχυμίαν,
καὶ ῥωννυούσης τῇδ᾽ ἐκείνους προσφόρως.

ΝΓ. Ἐπιτρέπων οὖν τὴν ἀνάῤῥωσιν φύσει,
ξὺν γοῦν διαίτῃ τῇ προσηκούσῃ νόσῳ
κράσει τε ῥαΐζοντος ἐκ τῆσδ᾽ αὐτίκα,
ἀπεικὸς οὐ δρῷ· καὶ γὰρ ἥδε ῥωννύναι
κάμνοντας οἶδεν οὐκ ἀκεστῆς φαρμάκοις.
τούτου γάρ ἐστιν αἰτίας αἴρειν μόνον
ἀφαιρέσει τε προσθέσει θ᾽ ὧνπερ δέον,
οὐ μὴν δὲ τοῖς κάμνουσιν ἐμπνέειν σθένος.
ὡς οὐδ᾽ ἀπείργειν τὰς ὑποστροφὰς νόσων ιζ. 338
κρατυντικοῖς ἔνεστι τῷδε φαρμάκοις,
ὥσπερ δοκεῖ πλείστοισιν ἐξ ἀπειρίας·
εἰ μὴ διαίτῃ, φαρμάκοις θ᾽ ἃ ῥιζόθεν
πέφυκεν ἐκσπᾶν αἰτίας νοσημάτων (β), μδ. 932
εἴ πως ἔνεστι· πολλάκις γὰρ οὐκ ἔνι,
κάμνοντος οὔσης ἐμποδὼν ἀδρανίης·
ῥᾷον γεμὴν δρᾶν τοῦτ᾽ ἔνεστι τῇ φύσει (γ), ν. 1069
οὔσης διαίτης, τῆς προσηκούσης δ᾽ ὅμως,
ὥσπερ δέδεικται, πεῖρα τ᾽ ἐμπεδοῖ τόδε.

Εἰ

---

(ψ) Περὶ τροφ. α. β. θ. (ω) διαίτ. γ. ιβ. (α) περὶ τροφ. δ. παραγγελ. θ. (β) περὶ φυσῶν γ. (γ) περὶ τόπ. τῶν κατ᾽ ἄνθρ. νβ.